καὶ οἰκοδομηθήτω τὰ τείχη Ιερουσαλημ·
21 τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης,
ἀναφορὰν καὶ ὁλοκαυτώματα·
τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

51 ΝΑ΄

1 Εἰς τὸ τέλος· συνέσεως τῷ Δαυιδ 2 ἐν τῷ
ἐλθεῖν Δωηκ τὸν Ιδουμαῖον καὶ ἀναγγεῖλαι τῷ
Σαουλ καὶ εἰπεῖν αὐτῷ Ἦλθεν Δαυιδ
εἰς τὸν οἶκον Αβιμελεχ.
3 Τί ἐγκαυχᾷ ἐν κακίᾳ, ὁ δυνατός,
ἀνομίαν ὅλην τὴν ἡμέραν;
4 ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου·
ὡσεὶ ξυρὸν ἠκονημένον ἐποίησας δόλον.
5 ἠγάπησας κακίαν ὑπὲρ ἀγαθωσύνην,
ἀδικίαν ὑπὲρ τὸ λαλῆσαι δικαιοσύνην.
διάψαλμα.
6 ἠγάπησας πάντα τὰ ῥήματα καταποντισμοῦ,
γλῶσσαν δολίαν.
7 διὰ τοῦτο ὁ θεὸς καθελεῖ σε εἰς τέλος·
ἐκτίλαι σε καὶ μεταναστεύσαι σε ἀπὸ σκηνώματος
καὶ τὸ ῥίζωμά σου ἐκ γῆς ζώντων.
διάψαλμα.
8 καὶ ὄψονται δίκαιοι καὶ φοβηθήσονται
καὶ ἐπ᾽ αὐτὸν γελάσονται καὶ ἐροῦσιν
9 Ἰδοὺ ἄνθρωπος, ὃς οὐκ ἔθετο τὸν θεὸν βοηθὸν αὐτοῦ,
ἀλλ᾽ ἐπήλπισεν ἐπὶ τὸ πλῆθος τοῦ πλούτου αὐτοῦ
καὶ ἐδυναμώθη ἐπὶ τῇ ματαιότητι αὐτοῦ.
10 ἐγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ θεοῦ·
ἤλπισα ἐπὶ τὸ ἔλεος τοῦ θεοῦ
εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
11 ἐξομολογήσομαί σοι εἰς τὸν αἰῶνα, ὅτι ἐποίησας,
καὶ ὑπομενῶ τὸ ὄνομά σου,
ὅτι χρηστὸν ἐναντίον τῶν ὁσίων σου.

52 ΝΒ΄

1 Εἰς τὸ τέλος, ὑπὲρ μαελεθ· συνέσεως τῷ Δαυιδ.
2 Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ Οὐκ ἔστιν θεός.
διεφθάρησαν καὶ ἐβδελύχθησαν ἐν ἀνομίαις,

51 (𝔐 52) 4[2] ηκονημενον] εξηκον. BS† || 8[1] και 1[0] > S || 9[2] αλλα BS† || 11[1] εποιησας] επηκουσας μου S†: ex 117 21. 28
52 (𝔐 53) 2[2] διεφθειραν BS†